(11) *εἷς ὅρος, μία β|ροτοῖσίν ἐστιν εὐτυχίας ὁδός,*
*θυμὸν εἴ τις ἔχων ἀπενθῆ δύναται*
3 *διατελεῖν βίον· ὃς δὲ μυ-*
*ρία μὲν ἀμφιπολεῖ φρενί,*
*τὸ δὲ παρ᾽ ἆμάρ τε ⟨καὶ⟩ νύκτα μελλόντων*
6 *χάριν αἰὲν ἰάπτεται*
*κέαρ, ἄκαρπον ἔχει πόνον.*
. . . . . . . . . .
(12) 3 *τί γὰρ ἐλαφ|ρὸν ἔτ᾽ ἐστὶν ἄ-*
*π|ρακτ᾽ ὀδυρόμενον δονεῖν*
*καρδίαν;*

13 (21)

metrum: dactyloepitr.: _ED | _e_ |

*πάντεσσι ⟨_⟩ θνατοῖσι δαί-*
*μων ἐπέταξε πόνους ἄλλοισιν ἄλλους.*

## *ΠΑΡΘΕΝΕΙΑ*

[Plut.] de mus. 17 (1136F): *οὐκ ἠγνόει δέ* (Plato), *ὅτι πολλὰ Δώρια παρθένεια {ἄλλα} Ἀλκμᾶνι καὶ Πινδάρωι καὶ Σιμωνίδηι καὶ Βακχυλίδηι πεποίηται.*



SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id404552536/95 UNIVERSITÄT LEIPZIG